ἑαυτὸν διεχρήσατο. ἐπὶ δὲ τῷ τούτου θανάτῳ καὶ ἡ μήτηρ Εὐρυδίκη ἑαυτὴν ἀνεῖλε.

Κεῖται δὲ ἡ μυθοποιία καὶ παρ' Εὐριπίδῃ ἐν Ἀντιγόνῃ· πλὴν ἐκεῖ φωραθεῖσα μετὰ τοῦ Αἵμονος δίδοται πρὸς γάμου κοινωνίαν καὶ τίκτει τὸν Μαίονα[1]).

Ἡ μὲν σκηνὴ τοῦ δράματος ὑπόκειται ἐν Θήβαις ταῖς Βοιωτικαῖς. ὁ δὲ χορὸς συνέστηκεν ἐξ ἐπιχωρίων γερόντων· προλογίζει δὲ ἡ Ἀντιγόνη· [ὑπόκειται δὲ τὰ πράγματα ἐπὶ τῶν Κρέοντος βασιλείων. τὸ δὲ κεφάλαιόν ἐστι τάφος Πολυνείκους, Ἀντιγόνης ἀναίρεσις, θάνατος Αἵμονος καὶ μόρος Εὐρυδίκης τῆς Αἵμονος μητρός. φασὶ δὲ τὸν Σοφοκλέα ἠξιῶσθαι τῆς ἐν Σάμῳ στρατηγίας εὐδοκιμήσαντα ἐν τῇ διδασκαλίᾳ τῆς Ἀντιγόνης][2]). λέλεκται δὲ τὸ δρᾶμα τοῦτο τριακοστὸν δεύτερον[3]).

---

## ΣΑΛΟΥΣΤΙΟΥ.

Τὸ μὲν δρᾶμα τῶν καλλίστων Σοφοκλέους. στασιάζεται δὲ τὰ περὶ τὴν ἡρωίδα ἱστορούμενα καὶ τὴν ἀδελφὴν αὐτῆς Ἰσμήνην. ὁ μὲν γὰρ Ἴων ἐν τοῖς διθυράμβοις καταπρησθῆναί φησιν ἀμφοτέρας ἐν τῷ ἱερῷ τῆς Ἥρας ὑπὸ Λαοδάμαντος[4]) τοῦ Ἐτεο-

---

1) Cod. Laur. habet *Αἵμονα*, in margine adscriptum ab alia manu antiqua *μαίδον* (α supra scriptum). In Par. A *Μαίμονα* legitur. *Μαίονα* restituit Nauckius l. l. secundum Hom. Il. 4, 394 *Μαίων Αἱμονίδης*. Et nuptiae et nomen filio futuro dandum referenda sunt ad vaticinium Bacchi in fine fabulae e machina atrocitati Creontis divinam auctoritatem interponentis.

2) Verba *ὑπόκειται — Ἀντιγόνης* et reliquo argumento et Aristophanis grammatici consuetudini parum accommodata cancellis circumscripsi. — Sophocles praetor fuit bello Samio Ol. 84, 4 (441/440 a. Chr.). Collegae fuerunt Pericles, Socrates Anagyrasius, Andocides, Creon, Glaucon, Callistratus, Xenophon Melitensis, Glaucetes, Clitophon (schol. Aristid. apud Dind. p. 485 et apud Wilamowitz-Moellendorffium de Rhesi schol. disput. p. 13, cfr. Thuc. I 116 *Περικλέους δεκάτου αὐτοῦ στρατηγοῦντος*). Ex his quantum colligere liceat, docta est fabula Ol. 84, 3.

3) Hunc numerum Schneidewinus refert ad catalogum fabularum Sophoclearum in bibliotheca Alexandrina ex temporum ratione compositum.

4) *Λαοδάμαντος* pro *Λαομέδοντος* Brunckius restituit ex Apollod. III 7, 3. Cfr. Paus. IX 7.

SLUB Wir führen Wissen.
UNIVERSITÄT LEIPZIG